σεαυτοῦ ἄνδρας πεποιθότας ἐν ἰσχύι αὐτῶν, πεζῶν εἰς χιλιάδας
ἑκατὸν εἴκοσι καὶ πλῆθος ἵππων σὺν ἀναβάταις χιλιάδας δέκα δύο,
6 [6]καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ δυσμάς, ὅτι ἠπείθη-
7 σαν τῷ ῥήματι τοῦ στόματός μου, [7]καὶ ἀπαγγελεῖς αὐτοῖς ἑτοιμά-
ζειν γῆν καὶ ὕδωρ, ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου ἐπ᾽ αὐτοὺς καὶ
καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς ποσὶν τῆς δυνάμεώς
8 μου καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς, [8]καὶ οἱ τραυματίαι
αὐτῶν πληρώσουσιν τὰς φάραγγας αὐτῶν, καὶ πᾶς χειμάρρους καὶ
9 ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐτῶν πληρωθήσεται· [9]καὶ ἄξω
10 τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα πάσης τῆς γῆς. [10]σὺ δὲ ἐξελ-
θὼν προκαταλήμψῃ μοι πᾶν ὅριον αὐτῶν, καὶ ἐκδώσουσίν σοι ἑαυ-
11 τούς, καὶ διατηρήσεις ἐμοὶ αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν· [11]ἐπὶ
δὲ τοὺς ἀπειθοῦντας οὐ φείσεται ὁ ὀφθαλμός σου τοῦ δοῦναι αὐ-
12 τοὺς εἰς φόνον καὶ ἁρπαγὴν ἐν πάσῃ τῇ γῇ σου. [12]ὅτι ζῶν ἐγὼ
καὶ τὸ κράτος τῆς βασιλείας μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν
13 χειρί μου. [13]καὶ σὺ δὲ οὐ παραβήσῃ ἕν τι τῶν ῥημάτων τοῦ κυρίου
σου, ἀλλὰ ἐπιτελῶν ἐπιτελέσεις καθότι προστέταχά σοι, καὶ οὐ μα-
14 κρυνεῖς τοῦ ποιῆσαι αὐτά. [14]καὶ ἐξῆλθεν Ολοφέρνης ἀπὸ προσώπου
τοῦ κυρίου αὐτοῦ καὶ ἐκάλεσεν πάντας τοὺς δυνάστας καὶ τοὺς
15 στρατηγοὺς καὶ ἐπιστάτας τῆς δυνάμεως Ασσουρ [15]καὶ ἠρίθμησεν
ἐκλεκτοὺς ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ ὁ κύριος
αὐτοῦ, εἰς μυριάδας δέκα δύο καὶ ἱππεῖς τοξότας μυρίους δισχιλί-
16 ους, [16]καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσε-
17 ται. [17]καὶ ἔλαβεν καμήλους καὶ ὄνους καὶ ἡμιόνους εἰς τὴν ἀπαρτίαν
αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρόβατα καὶ βόας καὶ αἶγας εἰς
18 τὴν παρασκευὴν αὐτῶν, ὧν οὐκ ἦν ἀριθμός, [18]καὶ ἐπισιτισμὸν παντὶ
ἀνδρὶ εἰς πλῆθος καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως πολὺ
19 σφόδρα. [19]καὶ ἐξῆλθεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς πορείαν
τοῦ προελθεῖν βασιλέως Ναβουχοδονοσορ καὶ καλύψαι πᾶν τὸ πρόσ-
ωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι καὶ πεζοῖς ἐπι-
20 λέκτοις αὐτῶν· [20]καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συνεξῆλθον αὐτοῖς
καὶ ὡς ἡ ἄμμος τῆς γῆς, οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλήθους αὐτῶν.
21 [21]καὶ ἀπῆλθον ἐκ Νινευη ὁδὸν τριῶν ἡμερῶν ἐπὶ πρόσωπον τοῦ

5 εις > S | και πληθος > S*† | χιλιαδας ult.] μυριαδ. B* || 6 υπαντησιν πασης της γης S† | δυσμαις S || 7 απαγγ. αυτοις > B*† | ετοιμαζειν] + μοι S$^c$ || 8 πας S 58 *L*] τους BA pl. || 10 προσκαταλ. A† | σοι εαυτους] αυτους S*(†) || 11 του > B || 12 ζω S | λελαληκα] pr. οσα S$^c$ || 14 και επιστατας] και τους σατραπας S*†, και τους σατραπας και επιστατας *L*S$^c$† || 15 εκελ.] προσεταξεν SA || 16 πολεμου πληθος] tr. S || 18 εξ — fin. > S*† | βασιλ.] pr. του *L*S$^c$† | πολυ > B(†) || 19 πασα / η δυν. αυτου] tr. S†, πασα > 58† | και 3$^0$ > A*L*$^p$† || 20 ο > S† | ακρις] pr. η S† | συνεξηλθεν S || 21 απηλθον S*] επ. B†, εξηλθον S$^c$, εξηλθεν A